9 ἐσμεν. [9]οὐκ ἰδοὺ πᾶσα ἡ γῆ ἐναντίον σού ἐστιν; διαχωρίσθητι
ἀπ᾽ ἐμοῦ· εἰ σὺ εἰς ἀριστερά, ἐγὼ εἰς δεξιά· εἰ δὲ σὺ εἰς δεξιά,
10 ἐγὼ εἰς ἀριστερά. [10]καὶ ἐπάρας Λωτ τοὺς ὀφθαλμοὺς αὐτοῦ εἶδεν
πᾶσαν τὴν περίχωρον τοῦ Ιορδάνου ὅτι πᾶσα ἦν ποτιζομένη —
πρὸ τοῦ καταστρέψαι τὸν θεὸν Σοδομα καὶ Γομορρα — ὡς ὁ παρά-
δεισος τοῦ θεοῦ καὶ ὡς ἡ γῆ Αἰγύπτου ἕως ἐλθεῖν εἰς Ζογορα.
11 [11]καὶ ἐξελέξατο ἑαυτῷ Λωτ πᾶσαν τὴν περίχωρον τοῦ Ιορδάνου,
καὶ ἀπῆρεν Λωτ ἀπὸ ἀνατολῶν, καὶ διεχωρίσθησαν ἕκαστος ἀπὸ
12 τοῦ ἀδελφοῦ αὐτοῦ. [12]Αβραμ δὲ κατῴκησεν ἐν γῇ Χανααν, Λωτ
δὲ κατῴκησεν ἐν πόλει τῶν περιχώρων καὶ ἐσκήνωσεν ἐν Σοδομοις·
13 [13]οἱ δὲ ἄνθρωποι οἱ ἐν Σοδομοις πονηροὶ καὶ ἁμαρτωλοὶ ἐναντίον
τοῦ θεοῦ σφόδρα.
14 [14]Ὁ δὲ θεὸς εἶπεν τῷ Αβραμ μετὰ τὸ διαχωρισθῆναι τὸν Λωτ
ἀπ᾽ αὐτοῦ Ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου ἰδὲ ἀπὸ τοῦ τόπου,
οὗ νῦν σὺ εἶ, πρὸς βορρᾶν καὶ λίβα καὶ ἀνατολὰς καὶ θάλασσαν·
15 [15]ὅτι πᾶσαν τὴν γῆν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρ-
16 ματί σου ἕως τοῦ αἰῶνος. [16]καὶ ποιήσω τὸ σπέρμα σου ὡς τὴν
ἄμμον τῆς γῆς· εἰ δύναταί τις ἐξαριθμῆσαι τὴν ἄμμον τῆς γῆς,
17 καὶ τὸ σπέρμα σου ἐξαριθμηθήσεται. [17]ἀναστὰς διόδευσον τὴν γῆν
εἴς τε τὸ μῆκος αὐτῆς καὶ εἰς τὸ πλάτος, ὅτι σοὶ δώσω αὐτήν.
18 [18]καὶ ἀποσκηνώσας Αβραμ ἐλθὼν κατῴκησεν παρὰ τὴν δρῦν τὴν
Μαμβρη, ἣ ἦν ἐν Χεβρων, καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον κυρίῳ.
14 [1]Ἐγένετο δὲ ἐν τῇ βασιλείᾳ τῇ Αμαρφαλ βασιλέως Σενναар,
Αριωχ βασιλεὺς Ελλασαρ καὶ Χοδολλογομορ βασιλεὺς Αιλαμ καὶ
2 Θαργαλ βασιλεὺς ἐθνῶν [2]ἐποίησαν πόλεμον μετὰ Βαλλα βασιλέως
Σοδομων καὶ μετὰ Βαρσα βασιλέως Γομορρας καὶ Σενναар βασιλέως
Αδαμα καὶ Συμοβορ βασιλέως Σεβωιμ καὶ βασιλέως Βαλακ (αὕτη
3 ἐστὶν Σηγωρ). [3]πάντες οὗτοι συνεφώνησαν ἐπὶ τὴν φάραγγα τὴν
4 ἁλυκήν (αὕτη ἡ θάλασσα τῶν ἁλῶν). [4]δώδεκα ἔτη ἐδούλευον τῷ
5 Χοδολλογομορ, τῷ δὲ τρισκαιδεκάτῳ ἔτει ἀπέστησαν. [5]ἐν δὲ τῷ
τεσσαρεσκαιδεκάτῳ ἔτει ἦλθεν Χοδολλογομορ καὶ οἱ βασιλεῖς οἱ
μετ᾽ αὐτοῦ καὶ κατέκοψαν τοὺς γίγαντας τοὺς ἐν Ασταρωθ Καρναιν
καὶ ἔθνη ἰσχυρὰ ἅμα αὐτοῖς καὶ τοὺς Ομμαίους τοὺς ἐν Σαυη τῇ
6 πόλει [6]καὶ τοὺς Χορραίους τοὺς ἐν τοῖς ὄρεσιν Σηιρ ἕως τῆς
7 τερεμίνθου τῆς Φαραν, ἥ ἐστιν ἐν τῇ ἐρήμῳ. [7]καὶ ἀναστρέψαντες
ἦλθοσαν ἐπὶ τὴν πηγὴν τῆς κρίσεως (αὕτη ἐστὶν Καδης) καὶ κατέ-
κοψαν πάντας τοὺς ἄρχοντας Αμαληκ καὶ τοὺς Αμορραίους τοὺς
8 κατοικοῦντας ἐν Ασασανθαμαρ. [8]ἐξῆλθεν δὲ βασιλεὺς Σοδομων

9 ουκ mu.] και A | εστιν > A† || 14 αναβλεψας ... ιδε M] -ψον ... και ιδε A || 16 fin. εξαριθμηθησεται 911] εξ > A || 17 fin. 911] + και τω σπερματι σου εις τον αιωνα A || 18 μαμβρη M] -ρην A

14 1 χοδολλ. M] pr. ο A || 2 βασιλ. ult.] pr. μετα A†